Βοσπορίων ποταμῶν,
ἴδρις τὸν ὠμόθυμον εἴ
ποθι πλαζόμενον [λεύσσων]
ἀπύοι; σχέτλια γὰρ
ἐμέ γε τὸν μακρῶν ἀλάταν πόνων
οὐρίῳ μὴ πελάσαι δρόμῳ,
ἀλλ' ἀμενηνὸν ἄνδρα μὴ λεύσσειν ὅπου.

Τε. ἰώ μοί μοι.
Χο. τίνος βοὴ πάραυλος ἐξέβη νάπους;
Τε. ἰὼ τλάμων.
Χο. τὴν δουρίληπτον δύσμορον νύμφην ὁρῶ
Τέκμησσαν, οἴκτῳ τῷδε συγκεκραμένην.
Τε. ᾤχωκ', ὄλωλα, διαπεπόρθημαι, φίλοι.
Χο. τί δ' ἔστιν;
Τε. Αἴας ὅδ' ἡμῖν ἀρτίως νεοσφαγὴς
κεῖται, κρυφαίῳ φασγάνῳ περιπτυχής.
Χο. ὤμοι ἐμῶν νόστων·
ὤμοι, κατέπεφνες ⟨ἅμ'⟩, ὦναξ,
τόνδε συνναύταν, ὦ τάλας·
ὦ ταλαῖφρον γύναι.
Τε. ὡς ὧδε τοῦδ' ἔχοντος αἰάζειν πάρα.
Χο. τίνος ποτ' ἆρ' ἔπραξε χειρὶ δύσμορος;
Τε. αὐτὸς πρὸς αὑτοῦ· δῆλον. ἐν γάρ οἱ χθονὶ
πηκτὸν τόδ' ἔγχος περιπετὲς κατηγορεῖ.
Χο. ὤμοι ἐμᾶς ἄτας, οἷος ἄρ' αἱμάχθης,

884 post ποταμῶν in L spatium in quo rasura duarum litterarum 885 ἴδρις om. rec 886 λεύσσων delevi 887 post ἀπύοι in L rasura (fort. fuerat ἀπύει ut in rec): dein fere quattuor litterae erasae 890 ἀλλὰ μεμηνότ' rec 891 ἰώ T: ἰὼ ἰώ L A rec 893 τλήμων L A rec: τλῆμον rec 894 δορίληπτον L$^{ac}$ rec 896 ᾤχωκ' Herodian. ap. Greg. Cor. p. 66: οἴχωκ' L A rec 900 ὤμοι T: ἰώ μοι L A rec 901 ὤμοι T: ἰώ μοι L A rec ἅμ' ὦναξ scripsi: ἄναξ codd.: ὦναξ Bergk 902 ὦ τάλας T Liv p: ἰὼ τάλας L A rec: τάλας Hermann 903 ὦ T: ἰὼ L A rec ταλαῖφρον rec: ταλαίφρων L A rec 905 ἆρ' om. G. Wolff ἆρ' ἔρξε Hermann 908 ὤμοι T Liv p: ἰώ μοι L A rec 909 οἷος L A rec Σ: οἶος rec ᾐμάχθης (ἡμ-) rec: ᾑμάχθης Radermacher